Παρθένου καὶ Πνεύματος, τεκταίνεται τὸν αὐτόν· ἐπειδὴ καὶ κατ' ἀρχάς, οὔσης παρθένου γῆς ἔτι καὶ ἀνηρότου, λαβὼν χοῦν, τὸ λογικώτατον ἐπλάσατο ζῶον ἀπ' αὐτῆς ὁ Θεὸς ἄνευ σπορᾶς.

## S. PETRUS Episcopus Alexandrinus († 311)

### De Deitate

PG 18, 509 [...] Ὁ εὐαγγελιστὴς ἀληθεύει λέγων· « Ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκή- 174
*512 νωσεν ἐν * ἡμῖν »· τότε δὴ τότε, ἀφ' οὗ ὁ ἄγγελος ἠσπάσατο τὴν Παρθένον εἰπών· « Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ ». Τὸ γὰρ « ὁ Κύριος μετὰ σοῦ », νῦν ἐστιν ἀκοῦσαι τοῦ Γαβριήλ, ἀντὶ τοῦ· Ὁ Θεὸς Λόγος μετὰ σοῦ. Σημαίνει γὰρ αὐτόν, γενόμενον ἐν μήτρᾳ, καὶ σάρκα γενόμενον, καθὼς γέγραπται· « Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ ». Καὶ πάλιν μεθ' ἕτερα· Ὁ δὲ Θεὸς Λόγος παρὰ τὴν ἀνδρὸς ἀπουσίαν, κατὰ βούλησιν τοῦ πάντα δυναμένου κατεργάσασθαι Θεοῦ, γέγονεν ἐν μήτρᾳ τῆς Παρθένου σάρξ, μήτε δεηθεὶς τῆς ἀνδρὸς ἐνεργείας ἢ παρουσίας. Ἐνεργέστερον γὰρ τοῦ ἀνδρὸς ἐνεποίησεν ἡ τοῦ Θεοῦ δύναμις, ἐπισκιάσασα τῇ Παρθένῳ σὺν τῷ ἐπεληλυθότι ἁγίῳ Πνεύματι.

---

Sic enim eum qui a principio erat, renovans, exque Virgine ac Spiritu ipsum rursus reformans, eumdem fabricatur: quandoquidem similiter a principio, terra virgine necdum aratrum passa, accepto inde luto, ex illo Deus ratione praeditum animal sine semente formaverat.

PG 18, 510 [...] Evangelista asserit veritatem dicens: *Verbum caro factum* 174
*est, et habitavit in nobis.*[1] Scilicet ex quo angelus Virginem salutavit,
*511 dicens: * *Ave, gratia plena, Dominus tecum.*[2] *Dominus* autem *tecum,* dixit Gabriel, pro eo quod est *Deus Verbum tecum.* Demonstrat enim id nasci in vulva et carnem futurum, iuxta quod scriptum est: *Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi: ideoque quod nascetur sanctum, vocabitur Filius Dei.*[3] [Et porro post alia]: Deus autem Verbum, viro absente, voluntate Dei qui omnia facile operatur, factum est in vulva virginis caro, non egens viri operatione aut praesentia. Viro enim efficacior fuit Dei virtus inumbrans virgini, superveniente etiam simul Spiritu sancto.

[1] Io. I, 14.
[2] Lc. I, 28.
[3] Lc. I, 35.